# Δ.

## Διήγησις τῶν ἁγίων τριῶν καὶ δέκα ὁσίων πατέρων τῶν διὰ πυρὸς τελειωθέντων παρὰ τῶν Λατίνων ἐν τῇ νήσῳ Κύπρῳ ἐν τῷ ,ϛψλθ΄ ἔτει.

Εἰ καὶ τὴν παιδείαν ἄμοιρος καὶ ἀμέτοχος ἐγὼ ὁ τάλας, καὶ τὴν γνῶσιν ἀμύητος, καὶ τὸν λόγον ἀμαθής, καὶ τοῦ λέγειν ἀνάξιος, ἀλλὰ θαρρῶ(ν) εἰς τὴν τοῦ παναγάθου φιλανθρώπου ἡμῶν ἀγαθότητα, καὶ πολλὴν οὖσαν καὶ ἀνείκαστον, καὶ μέτρῳ οὐχ ὑποβαλλομένην, εὔελπίς εἰμι καὶ πρόθυμος τοῦ λέγειν τὰ τῶν ἁγιωτάτων ὁσίων ἀνδρῶν διηγήματα. Ἀλλ᾽ ἄρτι παρακαλῶ ἀρξαμένου τοῦ διηγήματος, πιστὰς τὰς ἀκοὰς ὑφαπλώσαντες τὸν λόγον εἰσδεξώμεθα. Ἔχει δὲ ὧδέ πω. Καὶ τὰ μὲν ὀνόματα τῶν ὁσίων πατέρων ἡμῶν καὶ ὁμολογητῶν μαρτύρων, εἰσὶ ταῦτα: Ἰωάννης, Κόνων, Ἱερεμίας, Μάρκος, Κύριλλος, Θεόκτιστος, καὶ Βαρνάβας, οἱ δύο αὐτάδελφοι Μάξιμος καὶ Θεόγνωστος, Ἰωσήφ, Γεννάδιος, Γεράσιμος, Γερμανός· οἱ πάντες οὗτοι μιᾶς ποίμνης τοῦ ἀληθινοῦ Χριστοῦ ποιμένος ἄκακα πρόβατα. Οἱ δὲ τούτων ἔξαρχοι καὶ καθηγηταὶ ὑπῆρχον οἱ ἄνωθεν προμνημονευθέντες, Ἰωάννης φημὶ ὁ τοῦ Βαπτιστοῦ Ἰωάννου ταῖς τρίβοις ἑπόμενος, καὶ Κόνων ὁ τὸν ζηλωτὴν Ἠλίαν τοῖς τρόποις μιμούμενος, οἳ καὶ ὑπῆρχον ἐκ τοῦ Καλοῦ Ὄρους, ἔν τινι τῶν ἐκεῖσε μοναστηρίων ἀσκούμενοι, κοινῇ τῇ γνώμῃ κοινὰ φρονοῦντες, κοινὰ μελετῶντες, ὡς καὶ περὶ τῆς ἀληθοῦς πίστεως μέχρις αἵματος ἑαυτοὺς ἐκδοῦναι. Καταλιπόντες οὖν τὸ θαυμαστὸν τοῦτο Καλὸν Ὄρος, ἔφθασαν εἰς τὴν καθ᾽ ἡμᾶς